# ΚΥΡΙΑΚΗ Η΄ ἀπὸ τοῦ ΠΑΣΧΑ

## Ἡ Ἁγία Πεντηκοστὴ

## Τοῦ Ἁγίου Πνεύματος ἐπιδήμησις

**Ἀπολυτίκιον.** Ἦχος πλ. δ΄.

Εὐλογητὸς εἶ, Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ πανσόφος τοὺς ἁλιεῖς ἀναδείξας, καταπέμψας αὐτοῖς τὸ Πνεῦμα τὸ Ἅγιον, καὶ δι᾽ αὐτῶν τὴν οἰκουμένην σαγηνεύσας, Φιλάνθρωπε, δόξα Σοι.

**Κοντάκιον.** Ἦχος πλ. δ΄.

Ὅτε καταβὰς τὰς γλώσσας συνέχεε, διεμέριζεν ἔθνη ὁ Ὕψιστος· ὅτε τοῦ πυρὸς τὰ γλώσσας, διένειμεν, εἰς ἑνότητα πάντας ἐκάλεσε· καὶ συμφώνως δοξάζομεν τὸ Πανάγιον Πνεῦμα.

**Στίχοι.**

Πνοῇ βιαίᾳ γλωσσοπυρσεύτως νέμει,
Χριστὸς τὸ θεῖον Πνεῦμα τοῖς Ἀποστόλοις.
Ἐκκέχυται μεγάλῳ ἐνὶ ἤματι Πνεῦμ᾽ ἁλιεῦσι.




*Τοιχογραφία (1546/7), Ἱ. Μ. Διονυσίου, Ἄθω.*

## Τῇ Κυριακῇ τῆς Ἁγίας Πεντηκοστῆς

*(Πράξ. β΄ 1-11· Ἰωάν. ζ΄ 37-52, η΄ 12)*

**Μετὰ** τὴν εἰς οὐρανοὺς τοῦ Σωτῆρος Ἀνάληψιν, οἱ ἕνδεκα Ἀπόστολοι καὶ λοιποὶ Αὐτοῦ Μαθηταί, αἱ ἀπ᾽ ἀρχῆς ἀκολουθήσασαι Αὐτῷ θεοφιλεῖς γυναῖκες, ἡ ἁγιωτάτη Παρθένος Μαρία ἡ Μήτηρ Αὐτοῦ καὶ οἱ ἀδελφοὶ Αὐτοῦ, πάντες ὁμοῦ ψυχαὶ ὡς 120, ὑπέστρεψαν ἀπὸ τοῦ Ὄρους τοῦ Ἐλαιῶνος εἰς Ἱερουσαλήμ· καὶ εἰσελθόντες εἰς τὸν οἶκον, ἐν ᾧ ἔμενον, ἀνέβησαν εἰς τὸ ὑπερῷον, ὅ ἐστι τὸ ἀνώγαιον αὐτοῦ, καὶ ἐκεῖ, προσκαρτεροῦντες τῇ προσευχῇ καὶ τῇ δεήσει, περιέμενον τὴν τοῦ Ἁγίου Πνεύματος ἐπέλευσιν, κατὰ τὴν τοῦ θείου Διδασκάλου ἐπαγγελίαν.

Ἐκεῖ, ἐκλεχθεὶς καὶ ὁ Ματθίας ἐν τούτῳ τῷ μεταξύ, συγκατεψηφίσθη μετὰ τῶν ἕνδεκα Ἀποστόλων.




*Ἱ. Εἰκὼν (1545/6) διὰ χειρὸς Θεοφάνους τοῦ Κρητός, Ἱ. Μ. Σταυρονικήτα, Ἄθω.*

Κατὰ δὲ τὴν σήμερον, ἡμέραν τῆς ἑβδομάδος Κυριακήν, καὶ δεκάτην μὲν ἀπὸ τῆς Ἀναλήψεως, πεντηκοστὴν δὲ ἀπὸ τοῦ Πάσχα, ιγ΄ δὲ τότε τοῦ Μαΐου, περὶ ὥραν τρίτην τῆς ἡμέρας ἀπὸ τῆς τοῦ ἡλίου ἀνατολῆς, ἐξαίφνης ἐγένετο τοιοῦτος ἦχος ἐκ τοῦ οὐρανοῦ κατερχόμενος, ὡς ὅταν πνέῃ ἄνεμος σφοδρός, καὶ ἐγέμισεν ὅλον τὸν οἶκον, ἐν ᾧ ἐκάθηντο οἱ Ἀπόστολοι καὶ οἱ σὺν αὐτοῖς. Εὐθὺς μετὰ τὸν ἦχον ἐφάνησαν γλῶσσαι πυροειδεῖς, αἵτινες διαμερισθεῖσαι ἐκάθισαν ἐπὶ τῆς κεφαλῆς ἑνὸς ἑκάστου· καὶ πάντες οἱ ἐκεῖ πνευματέμφοροι γενόμενοι, ἤρξαντο λαλεῖν οὐχὶ διὰ τῆς μητρικῆς αὐτῶν γλώσσης, ἀλλὰ δι᾽ ἑτέρων γλωσσῶν καὶ διαλέκτων, ὅπως καὶ ὅ,τι ὑπηγόρευσεν εἰς αὐτοὺς τὸ Πνεῦμα τὸ Ἅγιον.

Τὰ ἀπὸ διαφόρων τόπων συρρεύσαντα πλῆθη διὰ τὴν ἑορτήν, Πάρθοι, καὶ Μῆδοι, καὶ Ἐλαμῖται, κτλ. Ἰουδαῖοι μὲν πάντες τὸ γένος καὶ τὴν θρησκείαν, οὕτω δὲ καλούμενοι ἐκ τοῦ τόπου, ἐν ᾧ διεσκορπισμένοι ὄντες πρὸ πολλοῦ ἐγεννήθη καὶ ἀνετράφη ἕκαστος· οὗτοι, λέγω, οἱ τοσούτων διαλέκτων ἑτερόγλωσσοι Ἰουδαῖοι, εὑρεθέντες τότε κατὰ θείαν οἰκονομίαν ἐν Ἱερουσαλήμ, ἀκούσαντες τὸν ἦχον ἐκεῖνον τὸν ἐκ τοῦ οὐρανοῦ κατερχόμενον, ἔνθα ἦσαν οἱ Μαθηταὶ τοῦ Χριστοῦ, συνέδραμον πάντες ἐκεῖ ἵνα μάθωσι τί ἄρα συνέβη. Ἀλλ᾽ ἔμειναν ἐκστατικοί, ὅτε ἦλθον καὶ ἤκουσαν ἕκαστος τοὺς Ἀποστόλους λαλοῦντας τὴν μητρικὴν αὐτοῦ διάλεκτον· καὶ θαυμάζοντες ἔλεγον πρὸς ἀλλήλους· Οὐκ ἰδοὺ πάντες οὗτοί εἰσιν οἱ λαλοῦντες Γαλιλαῖοι; καὶ πῶς ἡμεῖς ἀκούομεν ἕκαστος τῇ ἰδίᾳ διαλέκτῳ ἡμῶν ἐν ᾗ ἐγεννήθημεν; Ἕτεροι δέ, διὰ μωρίας καὶ κακίας ὑπερβολήν, καὶ ἴσως πάλιν οἱ τυφλοὶ Γραμματεῖς καὶ Φαρισαῖοι, χλευάζοντες τὸ θαῦμα, ἔλεγον τοὺς Ἀποστόλους μεθύοντας.

Τότε σταθεὶς ὁ Πέτρος μετὰ τῶν ἕνδεκα καὶ ὑψώσας τὴν φωνὴν αὐτοῦ ἐδημηγόρησεν ἐνώπιον τούτων ἀποδεικτικῶς, ὅτι τὸ πρᾶγμα οὐκ ἦν μέθης ἀποτέλεσμα, ἀλλ᾽ ἦν ἡ ἐκπλήρωσις τῆς ἐπαγγελίας τοῦ Θεοῦ, τῆς διὰ τοῦ Προφήτου Ἰωὴλ εἰρημένης· «Καὶ ἔσται ἐν ταῖς ἐσχάταις ἡμέραις, ἐκχεῶ ἀπὸ τοῦ Πνεύματός μου ἐπὶ πᾶσαν σάρκα, καὶ προφητεύσουσιν οἱ υἱοὶ ὑμῶν, καὶ αἱ θυγατέρες ὑμῶν, κτλ.» (Πράξ. β΄ 17). Ἐπομένως κηρύττει




*Τοιχογραφία, Ἱ. Ἡσυχαστήριον Ἁγίου Χριστοφόρου, Χρυσοβίτσα Θέρμου Ἀκαρνανίας-Αἰτωλίας, ἐκ τοῦ Ἁγιογραφείου Ἱ. Μ. Ἁγίου Κυπριανοῦ, Φυλῆ Ἀττικῆς (1998/9).*

τον Ναζωραῖον Ἰησοῦν, καὶ διὰ πολλῶν ἀποδεικνύει, ὅτι Αὐτός ἐστιν ὁ Κύριος, ὁ Χριστός, Ὃν οἱ μὲν Ἰουδαῖοι ἐσταύρωσαν, ὁ δὲ Θεὸς ἤγειρεν ἐκ νεκρῶν. Ἐκ τούτου, κατανυγέντες πολλοὶ καὶ τὸν λόγον ἀποδεξάμενοι, ἐβαπτίσθησαν, καὶ προσετέθησαν τὴν ἡμέραν ἐκείνην εἰς τὴν πίστιν τοῦ Χριστοῦ ψυχαὶ ὡς τρεῖς χιλιάδες.

Ἰδοὺ πᾶσα ἡ ὑπόθεσις τῆς παρούσης Ἑορτῆς· τὴν ἐν κόσμῳ δηλαδὴ ἐπιδημίαν τοῦ Παναγίου Πνεύματος, τὴν τελείωσιν τῆς ὑποσχέσεως τοῦ Ἰησοῦ Χριστοῦ, καὶ τὴν συμπλήρωσιν τῆς ἐλπίδος τῶν ἱερῶν Αὐτοῦ Μαθητῶν ἑορτάζομεν σήμερον. Αὕτη ἐστὶν ἡ μεθέορτος καὶ τελευταία Ἑορτὴ τοῦ τῆς Ἐνσάρκου Οἰκονομίας τοῦ Θεοῦ μεγάλου Μυστηρίου. Ἐν ταύτῃ τῇ ἐσχάτῃ καὶ μεγάλῃ καὶ σωτηρίῳ ἡμέρᾳ τῆς Πεντηκοστῆς, οἱ Ἀπόστολοι τοῦ Σωτῆρος, οἱ πρώην ἰδιῶται καὶ ἀγράμματοι ἁλιεῖς, σοφισθέντες διὰ μιᾶς ὑπὸ τοῦ Ἁγίου Πνεύματος, ἐθεολόγησαν τρανῶς τὰ οὐράνια δόγματα, καὶ ἐγένοντο οἱ κήρυκες τῆς ἀληθείας καὶ τοῦ κόσμου παντὸς οἱ διδάσκαλοι. Ἀπὸ ταύτης τῆς ἡμέρας ἤρξαντο τῆς ἀποστολῆς Αὐτῶν, ἧς ὁ ὡραῖος καὶ θαυμάσιος πρῶτος καρπὸς ὑπῆρξεν αὐθημερὸν τρισχιλίων ψυχῶν ἡ σωτηρία.

Σημειωτέον ἐνταῦθα, ὅτι το εἰρημένον ὑπερῷον, ὅπερ οἱ Ἑβραῖοι συνήθως εἶχον διωρισμένον εἰς τόπον εὐκτήριον, τινὲς μὲν νομίζουν ὅτι ἦν ἐκεῖνο αὐτὸ τὸ ὑπερῷον, ἔνθα ὁ Σωτὴρ παρέδωκε τὸ Μυστήριον τῆς θείας Εὐχαριστίας· καὶ τοῦτο πάλιν οἱ μὲν τιθέασιν ἐν τῷ οἴκῳ Ἰωάννου τοῦ Εὐαγγελιστοῦ, οἱ δὲ ἐν τῷ τῆς Μαρίας τῆς μητρὸς Ἰωάννου, τοῦ ἐπονομαζομένου Μάρκου· ὅστις οἶκος, γενόμενος ἐκκλησία μετέπειτα, ἐλέγετο Ἀνωτέρα τῶν Ἀποστόλων Ἐκκλησία (Κύριλλ. Ἱεροσολ. Κατηχ. ις´). Ἄλλοι τελευταῖον λέγουσιν, ὅτι ἦν ἓν τῶν ὑπερῴων τῶν ἐπὶ τῆς ἐξωτέρας αὐλῆς τοῦ Ναοῦ, ἔνθα ἦσαν ὑπερῷα διάφορα, ἀνεῳγμένα εἰς ὑποδοχὴν τῶν εἰς τὸ ἱερὸν συντρεχόντων καὶ ἕτοιμα παντὶ τῷ βουλομένῳ εἰσέρχεσθαι. Οἱ τῆς γνώμης ταύτης ἐπιφέρουσιν ὡς λόγον τὸ τοῦ Εὐαγγελιστοῦ· «Καὶ ἦσαν διὰ παντὸς ἐν τῷ ἱερῷ, αἰνοῦντες καὶ εὐλογοῦντες τὸν Θεόν». Σημειωτέον προσέτι, ὅτι ἐνταῦθα τελευταῖον ἀναφέρεται ἐν τῇ Καινῇ Διαθήκῃ τῆς Θεοτόκου Μαρίας τὸ ὄνομα, καὶ πλέον οὔ.

❖